Ακαδημία Αθηνών / Academy of Athens

**πλανᾶν.** Ἐκτρέπω, lead astray, Δημόκριτος Α 135 (DK II 118,11) τοὺς ⟨δ'⟩ ἄλλους ταράττειν, ὅτι διαδύνων (sc. ὁ γλυκὺς χυλὸς) *π λ α ν ᾷ τὰ ἄλλα καὶ ὑγραίνει*. || **πλανᾶσθαι 1.** Παραπλανῶμαι/σφάλλω, be misled/err, Παρμενίδης 8.54 *μορφὰς γὰρ κατέθεντο δύο γνώμας ὀνομάζειν· τῶν μίαν οὐ χρεών ἐστιν — ἐν ᾧ π ε π λ α ν η μ έ ν ο ι εἰσὶν* **2.** Περιπλανιέμαι, wander, Ἐμπεδοκλῆς 57.3 *ὄμματά τ' οἶ(α) ἐ π λ α ν ᾶ τ ο πενητεύοντα μετώπων* 58 *μουνομελῆ ... γυῖα ... ἐ π λ α ν ᾶ τ ο*. Πρβλ. *πλάζεσθαι*.

**πλάνη.** Περιπλάνηση, wandering, Δημόκριτος 148 *ὁ γὰρ ὀμφαλὸς πρῶτον ἐν μήτρῃσιν ... ἀγκυρηβόλιον σάλου καὶ π λ ά ν η ς ἐμφύεται, πεῖσμα καὶ κλῆμα τῷ γεννωμένῳ καρπῷ καὶ μέλλοντι*. Πρβλ. *πλανᾶσθαι*.

**πλάνης.** Πλανήτης, planet, Δημόκριτος 5b (τίτλ.) *Περὶ π λ α ν ή τ ω ν*.

**πλάσμα.** Πλάσμα τῆς φαντασίας, creature of fantasy/figment of imagination, Ξενοφάνης 1.22 *οὔτι μάχας διέπων Τιτήνων οὐδὲ Γιγάντων οὐδὲ ⟨τε⟩ Κενταύρων, π λ ά σ μ α τ α τῶν προτέρων*.

**πλάτος** (συνών. *εὖρος*). Πλάτος, breadth/width, Ἐμπεδοκλῆς 17.20 *ἴση μῆκός τε π λ ά τ ο ς τε (*sc. ***Φιλότης****)*. Πρβλ. *πλατύς*.

**πλάττεσθαι.** Πλάθω/ἐπινοῶ, fabricate/invent, Παρμενίδης 6.5 *ἣν δὴ βροτοὶ εἰδότες οὐδὲν π λ ά τ τ ο ν τ α ι, δίκρανοι* Δημόκριτος 119 *ἄνθρωποι τύχης εἴδωλον ἐ π λ ά σ α ν τ ο πρόφασιν ἰδίης ἀβουλίης*.

**πλατὺς** (συνών. *εὐρύς*, ἀντίθ. *στεινός*). Πλατύς/κραταιός, broad/powerful, Ἐμπεδοκλῆς 30.3 *ὅς σφιν ἀμοιβαῖος π λ α τ έ ο ς παρ' ἐλήλαται ὅρκου* 115.2 *ἔστιν Ἀνάγκης χρῆμα, θεῶν ψήφισμα παλαιόν, ἀίδιον, π λ α τ έ ε σ σ ι κατεσφρηγισμένον ὅρκοις*. Πρβλ. *πλάτος*.

**πλέον.** Βλ. **πολύς.**

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ